ἔχοντα λόγον παρήσομεν, ἐκεῖνο δὲ ἐπιστάσεως ἄξιον τυγχάνον οὐ παραλείψομεν ὅτι καὶ τὰς τῶν δωδεκατημορίων ἀρχὰς ἀπὸ τῶν ἰσημερινῶν καὶ τροπικῶν σημείων εὔλογόν ἐστι ποιεῖσθαι. καὶ τῶν συγγραφέων τοῦτό πως ἐμφανισάντων, καὶ μάλιστα διότι τὰς φύσεις καὶ τὰς δυνάμεις, καὶ τὰς συνοικειώσεις αὐτῶν, ὁρῶμεν ἐκ τῶν προαποδεδειγμένων, ἀπὸ τῶν τροπικῶν καὶ ἰσημερινῶν ἀρχῶν καὶ οὐκ ἀπ᾽ ἄλλου τινὸς ἔχοντας τὴν αἰτίαν, ἄλλων μὲν γὰρ ἀρχῶν ὑποτιθεμένων, ἢ μηκέτι συγχρῆσθαι ταῖς φύσεσιν αὐτῶν εἰς τὰς προτελέσεις ἀναγκασθησόμεθα, ἢ συγχρώμενοι διαπίπτειν, παραβαινόντων καὶ ἀλλοτριωθέντων τῶν τὰς δυνάμεις αὐτοῖς ἐμποιησάντων τοῦ ζωδιακοῦ διαστημάτων.

## περὶ ἰδιοπροσώπων καὶ λαμπήνων καὶ θρόνων.

Αἱ μὲν οὖν συνοικειώσεις τῶν ἀστέρων καὶ τῶν δωδεκατημορίων σχεδὸν ἂν εἶεν τοσαῦται. λέγονται δὲ ἰδιοπρόσωποι μὲν ὅταν ἕκαστος αὐτῶν τὸν αὐτὸν διασώζῃ πρὸς ☉ ἢ καὶ ☾ σχηματισμόν, ὅν περ καὶ οἱ οἶκοι αὐτοῦ πρὸς τοὺς ἐκείνων οἴκους, οἷον, ὁ τῆς ♀ λόγου ἕνεκεν, ὅταν ἑξάγωνον ποιῇ πρὸς τὰ φῶτα διάστασιν. ἀλλὰ πρὸς ☉ μὲν ἑσπέριος ὤν πρὸς δὲ ☾ ἑῷος ἀκολούθως τοῖς ἐξαρχῆς οἴκοις. καὶ ἐν λαμπήναις δὲ ἰδίαις λέγονται εἶναι καὶ θρόνοις, καὶ τοῖς τοιούτοις. ὅταν κατὰ δύο ἢ καὶ πλείους τῶν προεκτεθειμένων τρόπων συνῳκειωμένοι τυγχάνωσι τοῖς τόποις ἐν οἷς καταλαμβάνονται. τότε γὰρ μάλιστα τῆς δυνάμεως αὐτῶν αὐξανομένης πρὸς ἐνέργειαν διὰ τὸ ὅμοιον καὶ συμπαθητικὸν τῆς τῶν δωδεκατημορίων ὁμοφυοῦς οἰκειώσεως, ἰδιοθρονεῖν καὶ λάμπειν λέγονται. χαίρειν δέ φασιν αὐτούς, ὅταν κἂν μὴ πρὸς αὐτοὺς ᾖ ἡ συνοικείωσις τῶν περιεχόντων ζωδίων, ἀλλὰ μέντοι πρὸς τοὺς τῶν αὐτῶν αἱρέσεων ἐκ μακροῦ μᾶλλον οὕτω γινομένης τῆς συμπαθείας. κοινωνοῦσι δὲ ὁμοίως καὶ κατὰ τὸν αὐτὸν τρόπον τῆς ὁμοιότητος. ὥσπερ ὅταν ἐν τοῖς ἠλλοτριωμένοις καὶ τῆς ἐναντίας αἱρέσεως τόποις καταλαμβάνονται, πολὺ παραλύεται τὸ τῆς οἰκείας αὐτῶν δυνάμεως, ἄλλην τινὰ φύσιν μικτὴν ἀποτελούσης τῆς κατὰ τὸ ἀνόμοιον τῶν περιεχόντων ζωδίων κράσεως.